Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXIV. Quaenam Alexandriae interpretatus sit.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

*Τίνα ἐπὶ τῆς Ἀλεξανδρείας ἐξηγήσατο.*

TΑῦτα δὲ ἐκείνοις δέοι ἂν προσεπιθεῖναι δηλοῦντας, ὡς ἐν μὲν τῷ ἕκτῳ τῶν εἰς τὸ κατὰ Ἰωάννην ἐξηγητικῶν, σημαίνει τὰ πρότερα πέντε ἐπ' Ἀλεξανδρείας ἔτ' ὄντα αὐτὸν συντάξαι· τῆς δ' εἰς τὸ πᾶν Εὐαγγέλιον αὐτὸ δὴ τοῦτο πραγματείας, μόνοι δύο καὶ εἴκοσιν εἰς ἡμᾶς περιῆλθον τόμοι. κατὰ δὲ τὸ ἔννατον τῶν εἰς τὴν Γένεσιν. δώδεκα δ' ἐστὶ τὰ πάντα. οὐ μόνον τοὺς πρὸ τοῦ ἐννάτου δηλοῖ ἐπὶ τῆς Ἀλεξανδρείας ὑπεμνηματίσθαι, ἀλλὰ καὶ εἰς τοὺς πρώτους δὲ πέντε καὶ εἴκοσι ψαλμοὺς ἔπι τε τὰ εἰς τοὺς Θρήνους, ὧν εἰς ἡμᾶς ἐληλύθασι τόμοι πέντε· ἐν οἷς μέμνηται καὶ τῶν περὶ ἀναστάσεως. δύο δ' ἐστὶ καὶ ταῦτα. οὐ μὴν ἀλλὰ καὶ τὰ περὶ ἀρχῶν πρὸ τῆς ἀπ' Ἀλεξανδρείας μεταναστάσεως γράφει· καὶ τοὺς ἐπιγεγραμμένους στρωματεῖς, ὄντας τὸν ἀριθμὸν δέκα, ἐπὶ τῆς αὐτῆς πόλεως κατὰ τὴν Ἀλεξάνδρου συντάττει βασιλείαν, ὡς καὶ τοῦτο ὁλόγραφοι δηλοῦσιν αὐτοῦ πρὸ τῶν τόμων ἐπισημειώσεις.

## Caput XXIV.

*Quænam Alexandriæ interpretatus sit.*

HÆc verò supradictis adjungere prorsus necesse est; quinque priores libros expositionum in Joannis Evangelium ab illo dum adhuc Alexandriæ degeret, esse compositos, ut ipsemet in sexto earundem expositionum libro testatur. Ex universo autem opere quod in totum illud Evangelium elaboravit, duo & viginti libri ad nos duntaxat pervenerunt. Sed & in libro nono expositionum in Genesim (sunt autem omnes ejus in Genesim libri numero (B) duodecim) non solùm octo priores Alexandriæ lucubratos esse significat, verùm etiam Commentarios in primos quinque & viginti Psalmos; ac præterea in lamentationes Hieremiæ, ex quibus quinque Tomi ad nos venerunt. In his Tomis mentionem facit librorum quos scripserat de resurrectione: sunt autem ejus argumenti libri duo. Libros item de Principiis, antequam ab urbe Alexandriâ migraret composuit. Sed & libros qui στρωματεῖς inscribuntur, numero decem, in eadem civitate Alexandri Imperatoris temporibus conscri- (C) psit, sicut notationes manu ipsius perscriptæ ac libris ipsis præfixæ testantur.

Huc refer Niceph. c. 15. l. 5.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

*Ὅπως τῶν ἐνδιαθήκων γραφῶν ἐμνημόνευσεν.*

TΟν μέν τοιγε πρῶτον ἐξηγούμενος ψαλμὸν, ἔκθεσιν πεποίηται τοῦ τῶν ἱερῶν γραφῶν τῆς παλαιᾶς διαθήκης καταλόγου, ὧδέ πως γράφων κατὰ λέξιν. Οὐκ ἀγνοητέον δ' εἶναι τὰς ἐνδιαθήκους βίβλους, ὡς Ἑβραῖοι παραδιδόασιν, δύο καὶ εἴκοσι. ὅσος ὁ ἀριθμὸς τῶν παρ' αὐτοῖς στοιχείων ἐστίν. εἶτα μετά, τινα ἐπιφέρει λέγων. εἰσὶ δὲ αἱ εἴκοσι δύο βίβλοι καθ' Ἑβραίους αἵδε· ἡ παρ' ἡμῖν Γένεσις ἐπιγεγραμμένη, παρὰ δ' Ἑβραίοις ἀπὸ τῆς ἀρχῆς τῆς βίβλου Βρησιθ, ὅπερ ἐστὶν ἐν ἀρχῇ. Ἔξοδος, Οὐαλεσμωθ, ὅπερ ἐστὶ ταῦτα τὰ ὀνόματα· Λευιτικὸν, Οὐϊκρά, καὶ ἐκάλεσεν· Ἀριθμοὶ, Ἀμμεσφεκωδείμ· Δευτερονόμιον, Ἔλλε ἀδδεβαρίμ, οὗτοι οἱ λόγοι· Ἰησοῦς υἱὸς Ναυῆ. Ἰωσοῦε βεν νοῦν. Κριταὶ, Ῥοὺθ, παρ' αὐτοῖς ἐν ἑνὶ Σωφετίμ. βασιλειῶν πρώτη δευ-

## Caput XXV.

*Qualiter libros utriusque Testamenti recenset.*

CEterùm in expositione primi Psalmi, librorum veteris Testamenti indicem exhibet, ita scribens ad verbum: Sciendum est, veteris Testamenti libros duos esse ac viginti, sicut ab Hebræis traditur: qui numerus etiam literarum apud eos habetur. Et paulò post subdit: Sunt autem viginti duo libri juxta He- (D) bræos hi: Primus qui à nobis Genesis dicitur, ab Hebræis autem ex ipsius libri initio desumpta appellatione vocatur Bresith, quod idem est ac in principio. Exodus deindè, Hebræis Vellesmoth, id est hæc sunt nomina. Tertius, Leviticus, Hebræis Vaicra, id est & vocavit. Quartus, Numeri, Hebræis Hamisphecodim. quintus, Deuteronomium, Hebræis Ellehabdabarim, id est, Hæc sunt verba. Sextus, Jesus filius Nave, Hebraïcè Jehosue ben nun. Septimus Judices & Ruth, unico Volumine apud Hebræos comprehensi, quod appellant Sophetim. Octavus, Regnorum liber primus

Huc refer Niceph. c. 16. l. 5.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN